ὡς, εἰ μὲν οὐκέτ᾽ ἔστιν, ὀγκωθῇ τάφῳ,
εἰ δ᾽ ἔστιν, ἔλθῃ μητρὸς εἰς ὄψιν ποτέ.
ἀλλ᾽ ἐᾶν χρὴ τάδ᾽, εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν ἃ βούλομαι.
ἀλλ᾽, ὦ ξέν᾽, εἰσορῶ γὰρ εὐγενῆ πόσιν
Ξοῦθον πέλας δὴ τόνδε τὰς Τροφωνίου
λιπόντα θαλάμας, τοὺς λελεγμένους λόγους
σίγα πρὸς ἄνδρα, μή τιν᾽ αἰσχύνην λάβω
διακονοῦσα κρυπτά, καὶ προβῇ λόγος
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξειλίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἀν ταῖς κακαῖσιν ἁγαθαὶ μεμιγμέναι
μισούμεθ᾽· οὕτω δυστυχεῖς πεφύκαμεν.
ΞΟΥ. πρῶτον μὲν ὁ θεὸς τῶν ἐμῶν προσφθεγμάτων
λαβὼν ἀπαρχὰς χαιρέτω, σύ τ᾽, ὦ γύναι.
μῶν χρόνιος ἐλθών σ᾽ ἐξέπληξ᾽ ὀρρωδίᾳ;
ΚΡ. οὐδέν γ᾽· ἀφίκου δ᾽ εἰς μέριμναν. ἀλλά μοι
λέξον, τί θέσπισμ᾽ ἐκ Τροφωνίου φέρεις,
παίδων ὅπως νῷν σπέρμα συγκραθήσεται;
ΞΟΥ. οὐκ ἠξίωσε τοῦ θεοῦ προλαμβάνειν
μαντεύμαθ᾽· ἓν δ᾽ οὖν εἶπεν, οὐκ ἄπαιδά με
πρὸς οἶκον ἥξειν οὐδὲ σ᾽ ἐκ χρηστηρίων.
ΚΡ. ὦ πότνια Φοίβου μῆτερ, εἰ γὰρ αἰσίως
ἔλθοιμεν, ἅ τε νῷν συμβόλαια πρόσθεν ἦν
ἐς παῖδα τὸν σόν, μεταπέσοι βελτίονα.
ΞΟΥ. ἔσται τάδ᾽· ἀλλὰ τίς προφητεύει θεοῦ;
ΙΩΝ. ἡμεῖς τά γ᾽ ἔξω, τῶν ἔσω δ᾽ ἄλλοις μέλει,
οἳ πλησίον θάσσουσι τρίποδος, ὦ ξένε,
Δελφῶν ἀριστῆς, οὓς ἐκλήρωσεν πάλος.
ΞΟΥ. καλῶς· ἔχω δὴ πάνθ᾽ ὅσων ἐχρῄζομεν.
στείχοιμ᾽ ἂν εἴσω· καὶ γάρ, ὡς ἐγὼ κλύω,

---

396. *κἀμ᾽ ὀλῇ* cod. A. Stobaei. 397. *ἐξελίσσομεν* Stobaeus. 401. *ὁ*] accessit in Brubachiana. 406. *συγκραθήσεται*] Wakefieldius, *συγκαθήσεται* libri. 408. *μαντεύμαθ᾽*] Barnesius, *μάντευμ᾽* libri. *ἓν δ᾽*] L. Dindorfius, *ἕν γ᾽* libri. 415. *ὦ*] addidit Scaliger. 416. *πάλος*] Musurus, *πάρος* libri.